αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων ἐχόμεναι ἡ ἑτέρα ἐκ τῆς ἑτέρας, καὶ
4 πέντε αὐλαῖαι ἔσονται συνεχόμεναι ἑτέρα τῇ ἑτέρᾳ. [4]καὶ ποιήσεις
αὐταῖς ἀγκύλας ὑακινθίνας ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς
ἐκ τοῦ ἑνὸς μέρους εἰς τὴν συμβολὴν καὶ οὕτως ποιήσεις ἐπὶ τοῦ
χείλους τῆς αὐλαίας τῆς ἐξωτέρας πρὸς τῇ συμβολῇ τῇ δευτέρᾳ.
5 [5]πεντήκοντα ἀγκύλας ποιήσεις τῇ αὐλαίᾳ τῇ μιᾷ καὶ πεντήκοντα
ἀγκύλας ποιήσεις ἐκ τοῦ μέρους τῆς αὐλαίας κατὰ τὴν συμβολὴν
τῆς δευτέρας· ἀντιπρόσωποι ἀντιπίπτουσαι ἀλλήλαις εἰς ἑκάστην.
6 [6]καὶ ποιήσεις κρίκους πεντήκοντα χρυσοῦς καὶ συνάψεις τὰς αὐ-
λαίας ἑτέραν τῇ ἑτέρᾳ τοῖς κρίκοις, καὶ ἔσται ἡ σκηνὴ μία. —
7 [7]καὶ ποιήσεις δέρρεις τριχίνας σκέπην ἐπὶ τῆς σκηνῆς· ἕνδεκα
8 δέρρεις ποιήσεις αὐτάς. [8]τὸ μῆκος τῆς δέρρεως τῆς μιᾶς ἔσται
τριάκοντα πήχεων, καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς δέρρεως
9 τῆς μιᾶς· μέτρον τὸ αὐτὸ ἔσται ταῖς ἕνδεκα δέρρεσι. [9]καὶ συνά-
ψεις τὰς πέντε δέρρεις ἐπὶ τὸ αὐτὸ καὶ τὰς ἓξ δέρρεις ἐπὶ τὸ
αὐτό· καὶ ἐπιδιπλώσεις τὴν δέρριν τὴν ἕκτην κατὰ πρόσωπον τῆς
10 σκηνῆς. [10]καὶ ποιήσεις ἀγκύλας πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς
δέρρεως τῆς μιᾶς τῆς ἀνὰ μέσον κατὰ συμβολὴν καὶ πεντήκοντα
ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέρρεως τῆς συναπτούσης
11 τῆς δευτέρας. [11]καὶ ποιήσεις κρίκους χαλκοῦς πεντήκοντα καὶ συνά-
ψεις τοὺς κρίκους ἐκ τῶν ἀγκυλῶν καὶ συνάψεις τὰς δέρρεις, καὶ
12 ἔσται ἕν. [12]καὶ ὑποθήσεις τὸ πλεονάζον ἐν ταῖς δέρρεσιν τῆς σκη-
νῆς· τὸ ἥμισυ τῆς δέρρεως τὸ ὑπολελειμμένον ὑποκαλύψεις, τὸ
πλεονάζον τῶν δέρρεων τῆς σκηνῆς ὑποκαλύψεις ὀπίσω τῆς σκη-
13 νῆς· [13]πῆχυν ἐκ τούτου καὶ πῆχυν ἐκ τούτου ἐκ τοῦ ὑπερέχοντος
τῶν δέρρεων ἐκ τοῦ μήκους τῶν δέρρεων τῆς σκηνῆς ἔσται συγ-
καλύπτον ἐπὶ τὰ πλάγια τῆς σκηνῆς ἔνθεν καὶ ἔνθεν, ἵνα καλύ-
14 πτῃ. [14]καὶ ποιήσεις κατακάλυμμα τῇ σκηνῇ δέρματα κριῶν ἠρυ-
θροδανωμένα καὶ ἐπικαλύμματα δέρματα ὑακίνθινα ἐπάνωθεν. —
15 16 [15]καὶ ποιήσεις στύλους τῇ σκηνῇ ἐκ ξύλων ἀσήπτων· [16]δέκα πή-
χεων ποιήσεις τὸν στῦλον τὸν ἕνα, καὶ πήχεος ἑνὸς καὶ ἡμίσους
17 τὸ πλάτος τοῦ στύλου τοῦ ἑνός· [17]δύο ἀγκωνίσκους τῷ στύλῳ
τῷ ἑνὶ ἀντιπίπτοντας ἕτερον τῷ ἑτέρῳ· οὕτως ποιήσεις πᾶσι τοῖς
18 στύλοις τῆς σκηνῆς. [18]καὶ ποιήσεις στύλους τῇ σκηνῇ, εἴκοσι στύ-
19 λους ἐκ τοῦ κλίτους τοῦ πρὸς βορρᾶν. [19]καὶ τεσσαράκοντα βάσεις
ἀργυρᾶς ποιήσεις τοῖς εἴκοσι στύλοις, δύο βάσεις τῷ στύλῳ τῷ

3 εσονται $1^{0} \frown 2^{0}$ B*† | εξ αλληλων > A† | εχομεναι] pr. συν A | η > A | τη ετερα] εκ της -ρας A || 4 εις > B*† || 5 πεντηκ. $1^{0}$] + δε A | αλλ. εις εκαστην] εις αλληλας εκαστη A || 7 σκεπειν A || 8 εσται $1^{0}$] > B, in *O* sub ÷ | της δερρ. $2^{0}$ > B*† | μετρον / το αυτο] tr. B† || 10 συμβολην] pr. την A || 11 εσονται A || 12 σκηνης $1^{0} \frown 2^{0}$ B | το $2^{0} \frown 3^{0}$ A | υποκαλυψεις ult.] επικαλ. A || 13 δερρεων $1^{0} \frown 2^{0}$ A || 14 κατακαλυμμα] κατα > B*† || 16 ποιησεις] > A, in *O* sub ÷